ΑΝΑΣΤ. Κ. Π. ΣΤΑΜΟΥΛΗ
ΤΟΥ ΕΚ ΣΗΛΥΒΡΙΑΣ
ΘΡΑΚΙΚΑ

# ΑΠΟΚΑΥΚΟΣ. ΑΛΕΞΙΟΣ.

## Ἀποκαύκῳ Παρακοιμωμένῳ.

Τὸν Ὀλυμπιονίκαν ἀνάγνωθί μοι Ἀρχεστράτου παῖδα, πόθι φρενὸς ἐμᾶς γέγραπται· προοίμια ὕμνου πρὸς Ἁγησίδαμον Πινδάρῳ τῷ σοφῷ τεθεώρηται. Ἐπαγγειλάμενος γὰρ ὕμνον ἐκείνῳ, εἶθ', ὥσπερ ἐπιλησάμενος, αὖθις τε μνήμης γενόμενος, πρὸς Μελπομένην, τὴν ἑαυτοῦ Μοῦσαν, καὶ τοὺς πρὸς λύραν μέλποντας ὑμνῳδούς, ἀναγνῶναί οἱ φησί, ποῦ τῆς αὐτοῦ φρενὸς Ἁγησίδαμος γέγραπται. ὡς γὰρ τρία μέρη φασὶν εἶναι τῇ ψυχῇ, τῷ αὐτῷ δὴ λόγῳ τρία ταῦτ' ἐγκεῖσθαι καὶ τῇ φρενί, μνημονικόν, φανταστικόν, καὶ δοξαστικόν. Ἀλλά, περὶ μὲν ἐκείνων φιλοσοφητέον ἔστω Πινδάρῳ.

Ἐγὼ δὲ τὸν ἐμὸν λαμπρὸν ἀριστέα, τὸν ἀπαράμιλλον λέγω Παρακοιμώμενον· τὸν χρυσοῦν, τὸν νοῦν· τὸν χρηστόν, τὴν ψυχήν· τὸν εὐθῦ, τὴν καρδίαν· μὴ ὅτι γε τῇ τῆς φρενὸς τριμερείᾳ, ὅτι μὴ καὶ ὅλῃ ψυχῇ, καὶ νῷ καὶ καρδίᾳ, καὶ παρόντα δεξιοῦμαι δόξῃ, καὶ ἀπόντα φαντάζομαι· καὶ τῇ μνήμῃ διαπαντὸς σύνειμι. Καὶ ὁποιδήποτε γῆς ἢ θαλάσσῃ, οὐκ ἔσθ' ὁπότε μοι ἔξω τοῦ μνήμονος γέγραπται· συχνάκις τὰ μέλοι καὶ καιρῶν ἐκείνων μεμνημένῳ, καθ' οὓς ἤκμαζον ἐγὼ παιδευτής, ἐφοίτων δὲ συχνοὶ παιδείας μεταλαμβάνοντες· ὧν ἦν τὰ πρῶτα Παρακοιμώμενος, εὐφυΐᾳ τε φύσεως καὶ σπουδῇ, ἐξ ὧν ἐπιστῆμαι τὸ κράτος ἔχουσιν. Ἤδη δὲ ἐς γεράματα παραγγείλας, οὐ καὶ τὸ φρονεῖν ἦχα κατὰ γεράματα.

Θεοδώρου Ὑρτακηνοῦ: Ἐπιστολαὶ 3θ'.

MCCIX parmi Manuscrits grecs Bibl. Nationale Παρισίων

F.J.G. La Porte-du Theil

Institut de France Académie des Inscriptions et Belles Lettres Notices et Extraits des Manuscrits t. 6, an IX de la République p. 30

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

(ἀκολουθεῖ)

Ἀλλ' ἦν στάσιμος καὶ πρεσβυτικός, εὐσταθής, καὶ γενναῖος, καὶ σώφρων, καὶ διδασκαλικὸς ἄκρως· Ὁπότε δὴ καὶ τὴν Ὁμηρικὴν μελέτην ῥαψῳδίας, οὕτω τὸ ῥᾷον διὰ στόματος προὔφερεν, ὡς ἐν πλαξὶν αὐτοῦ μνήμονος ἐγκεκολαμμένης ἐκ παιδὸς εἶχε τοῖς στήθεσι, καθάπερ τὴν προπαίδειαν τῶν στοιχείων ἀνάγραπτον. Δεῦσαν δὲ καὶ πολὺ μικρόν τι τοῖς ἀπὸ παιδείας πόνοις ῥᾳστώνη δοῦναι, οὐ θεάτροις προσεῖχεν, οὐχ ἱπποδρόμοις, οὐδὲ δημοκοπίαις καὶ πανηγύρεσιν, ἑορταῖς δὲ καὶ ταύταις ἱεραῖς, ἐνησχόλαζε.

Ἧττον δὲ ἢ κἂν βασιλείοις, ὅσον μόλις βασιλεῦσι γνωρίζεσθαι, καὶ δόξης μὲν ἐμβριθοῦς καὶ σεμνοῦ παραστήματος, οἵου δή τινος ἀκμῆς καὶ δι' εὐχῶν πᾶσιν ἦγετο, πατράσι, παιδευταῖς, συγγενέσιν, ἑταίροις, καὶ τοῖς ὅσοι τῶν καλῶν ἐρασταί· καὶ μέντοι, καὶ τῶν εὐχῶν συνικνούμενος.

Καὶ χρόνος οὐ πολύς, οἷός τις τὸν ἄνδρα συνίστησι.

Τὸν οὖν οὕτω μὲν ἔχοντα φύσεως, οὕτω δὲ γνώμης, οὕτω δὲ ἠθῶν, καὶ τρόπων εὐγενῶν, πῶς ἄν τις μνήμονος ἔξω λήθειν, καί, τιθεὶς δέ, πῶς οὐ δικαίως κρίνοιτ' ἂν τὸν δίκαιον ἀδικῶν;

Ἐγὼ γε μήν, οὐδέσιν ἄλλοις ἀξίοις τὸν τηλικοῦτον δώροις ἔχων δωρήσασθαι, ὅ γ' ἔχω μόνον, εὐχαῖς ἐγκαρδίοις δωροῦμαι. Καί, φιλόσοφος ὢν αὐτός, οὐκ ἐπιλήσαιτ' ἂν μου πολύ· τοῦτο μὲν παιδευτοῦ, τοῦτο δ' ἐραστοῦ καὶ φίλου θαρρῶ, καὶ δεομένου τυγχάνοντος.